τῶι τ' ἀδίκωι μέγα κεν πῆμα βροτοῖσιν ἐπῆν.

---

ἔστιν ὁ μὲν χείρων, ὁ δ' ἀμείνων· ἔργον ἑκάστου·
 οὐδεὶς δ' ἀνθρώπων αὐτὸς ἅπαντα σοφός.

---

(s. V)

ὅστις ἀνάλωσιν τηρεῖ κατὰ χρήματα †θηρῶν,
 κυδίστην ἀρετὴν τοῖς συνιεῖσιν ἔχει.
εἰ μὲν γὰρ κατιδεῖν βιότου τέλος ἦν, ὁπόσον τι
 ἤμελλ' ἐκτελέσας εἰς Ἀΐδαο περᾶν,
εἰκὸς ἂν ἦν, ὃς μὲν πλείω χρόνον αἶσαν ἔμιμνεν,
 φείδεσθαι μᾶλλον τοῦτον, ἵν' εἶχε βίον·
νῦν δ' οὐκ ἔστιν, ὃ δὴ καὶ ἐμοὶ μέγα πένθος ὄρωρεν
 καὶ δάκνομαι ψυχήν, καὶ δίχα θυμὸν ἔχω.
ἐν τριόδωι δ' ἕστηκα· δύ' εἰσὶ τὸ πρόσθεν ὁδοί μοι·
 φροντίζω τούτων ἥντιν' ἴω προτέρην·
ἢ μηδὲν δαπανῶν τρύχω βίον ἐν κακότητι,
 ἢ ζώω τερπνῶς ἔργα τελῶν ὀλίγα.
εἶδον μὲν γὰρ ἔγωγ' ὃς ἐφείδετο, κοὔποτε γαστρὶ
 σῖτον ἐλευθέριον πλούσιος ὢν ἐδίδου·
ἀλλὰ πρὶν ἐκτελέσαι κατέβη δόμον Ἄϊδος εἴσω,
 χρήματα δ' ἀνθρώπων οὑπιτυχὼν ἔλαβεν·
ὥστ' ἐς ἄκαιρα πονεῖν καὶ μὴ δόμεν ὧι κ' ἐθέληι τις.
 εἶδον δ' ἄλλον ὃς ἧι γαστρὶ χαριζόμενος
χρήματα μὲν διέτριψεν, ἔφη δ' "ὑπάγω φρένα τέρψας"·
 πτωχεύει δὲ φίλους πάντας, ὅπου τιν' ἴδηι.
οὕτω Δημόκλεις κατὰ χρήματ' ἄριστον ἁπάντων
 τὴν δαπάνην θέσθαι καὶ μελέτην ἐχέμεν·